19/01/2025

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής ΙΒ’ Λουκά

/ Ορθόδοξες Προβολές

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής ΙΒ’ Λουκά (Δέκα Λεπρών): Λουκ. ιζ’ 12 – 19 (19-01-2025).

Πρωτότυπο Κείμενο

Τῷ καιρῷ ἐκείνῳ, εἰσερχομένου τοῦ Ἰησοῦ εἴς τινα κώμην ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν, καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. Καὶ ἰδὼν εἶπεν αὐτοῖς· πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν, καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; Οἱ δὲ ἐννέα ποῦ; Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος; Καὶ εἶπεν αὐτῷ· ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε.

Νεοελληνική Απόδοση

Εκείνο τον καιρό, καθώς έμπαινε ο Ιησούς σ’ ένα χωριό, τον συνάντησαν δέκα λεπροί• στάθηκαν λοιπόν από μακριά και του φώναζαν δυνατά: «Ιησού, αφέντη, ελέησέ μας!» Βλέποντάς τους εκείνος τους είπε: «Πηγαίνετε να σας εξετάσουν οι ιερείς». Και καθώς πήγαιναν, καθαρίστηκαν από τη λέπρα. Ένας απ’ αυτούς, όταν είδε ότι θεραπεύτηκε, γύρισε δοξάζοντας με δυνατή φωνή το Θεό, έπεσε με το πρόσωπο στα πόδια του Ιησού και τον ευχαριστούσε. Κι αυτός ήταν Σαμαρείτης. Τότε ο Ιησούς είπε: «Δε θεραπεύτηκαν και οι δέκα; Οι άλλοι εννιά πού είναι; Κανένα τους δε βρέθηκε να γυρίσει να δοξάσει το Θεό παρά μόνο τούτος εδώ ο αλλοεθνής;» Και σ’ αυτόν είπε: «Σήκω και πήγαινε στο καλό• η πίστη σου σε έσωσε».